καὶ ἀφεῖεν οὐδὲν αὐτῶν· τὸ δὲ καθόλου παρὰ ταῦτα εἶναί τε καὶ ἕτερόν τι εἶναι. τοῦτο δὲ ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς· οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον· καὶ τοῦτο ὀρθῶς ἐνόησεν οὐ χωρίσας. δηλοῖ δὲ ἐκ τῶν ἔργων. ἄνευ μὲν γὰρ τοῦ καθόλου, οὐκ ἔστιν ἐπιστήμην λαβεῖν. τὸ δὲ χωρίζειν, αἴτιον τῶν συμβαινόντων δυσχερῶν περὶ τὰς ἰδέας ἐστίν. οἱ δ' ὡς ἀναγκαῖον, εἴπερ ἔσονταί τινες οὐσίαι παρὰ τὰς αἰσθητὰς καὶ ῥεούσας, χωριστὰς εἶναι, ἄλλας μὲν οὐκ εἶχον, ταύτας δὲ τὰς καθόλου λεγομένας ἐξέθεσαν. ὥστε συμβαίνει σχεδὸν τὰς αὐτὰς φύσεις εἶναι τὰς καθόλου καὶ τὰς καθ' ἕκαστον. αὕτη μὲν οὖν αὐτὴ καθ' αὑτὴν εἴη τις ἂν δυσχέρεια τῶν εἰρημένων. Κεφάλαιον ι.

A nec aliquid horũ manere, vniuersale autẽ præter hæc tũ esse, tũ aliud quid esse. Hoc autem, (vt anteà dicebamus) mouit quidem Socrates propter definitiones, non tamen à singularibus separauit: & hoc rectè intellexit, non separans. Constat autem ex operibus: etenim absque vniuersalibus quidem non est accipere scientiam. Separare autem, causa difficultatum, quæ circa ideas accidunt, est. Quidam verò tanquam necessarium sit, si substantiæ

B quædam præter sensibiles, & fluentes erunt, separatas esse, (alias quidem non habebant) eas sanè, quæ vniuersales dicuntur, attulerunt: vt ferè accidat, easdem naturas vniuersales, ac particulares esse. At hæc ipsa per se ipsam erit difficultas eorum, de quibus dictum est.

## CAPVT X.

Ὃ δὲ καὶ τοῖς λέγουσι τὰς ἰδέας ἔχει τινὰ ἀπορίαν καὶ τοῖς μὴ λέγουσιν, καὶ κατ' ἀρχὰς ἐν τοῖς διαπορήμασιν ἐλέχθη πρότερον, λέγωμεν νῦν. εἰ μὲν γάρ τις μὴ θήσει τὰς οὐσίας εἶναι κεχωρισμένας, καὶ τὸν τρόπον τοῦτον ὡς λέγεται τὰ καθ' ἕκαστα τῶν ὄντων, ἀναιρήσει τὴν οὐσίαν ὡς βουλόμεθα λέγειν. ἂν δέ τις θῇ τὰς οὐσίας χωριστάς, πῶς θήσει τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς αὐτῶν; εἰ μὲν γὰρ καθ' ἕκαστον, καὶ μὴ καθόλου, τοσαῦτα ἔσται τὰ ὄντα, ὅσαπερ τὰ στοιχεῖα, καὶ οὐκ ἐπιστητὰ τὰ στοιχεῖα· ἔστωσαν γὰρ αἱ μὲν ἐν τῇ φωνῇ συλλαβαὶ, οὐσίαι, τὰ δὲ στοιχεῖα αὐτῶν, στοιχεῖα τῶν οὐσιῶν· ἀνάγκη δὴ τὸ β α ἓν εἶναι, καὶ ἑκάστην τῶν συλλαβῶν μίαν, εἴπερ μὴ καθόλου, καὶ τῷ εἴδει αἱ αὐταί, ἀλλὰ μία ἑκάστη τῷ ἀριθμῷ, καὶ τόδε τι, καὶ μὴ ὁμώνυμον, ἔτι δ' αὐτὸ ὅ ἐστιν, ἓν ἕκαστον τιθέασιν. εἰ δ' αἱ συλλαβαί, οὕτω καὶ ἐξ ὧν εἰσίν. οὐκ ἔσται ἄρα πλείω ἄλφα ἑνός· οὐδὲ τῶν ἄλλων στοιχείων οὐθὲν κατὰ τὸν αὐτὸν λόγον, ὅνπερ οὐδὲ τῶν ἄλλων συλλαβῶν ἡ αὐτὴ ἄλλη καὶ ἄλλη. ἀλλὰ μὴν εἰ τοῦτο, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα ἕτερα ὄντα, ἀλλὰ μόνον τὰ στοιχεῖα. ἔτι οὐδ' ἐπιστητὰ τὰ στοιχεῖα. οὐ γὰρ καθόλου· ἡ δ' ἐπιστήμη τῶν καθόλου. δῆλον δ' ἐκ τῶν ἀποδείξεων καὶ τῶν ὁρισμῶν. οὐ γὰρ γίνεται συλλογισμὸς ὅτι τόδε τὸ τρίγωνον δύο ὀρθαῖς, εἰ μὴ πᾶν δύο ὀρθαῖς. οὐδ' ὅτι ὁδὶ ὁ ἄνθρωπος ζῷον, εἰ μὴ πᾶς ἄνθρωπος ζῷον. ἀλλὰ μὴν εἴ γε καθόλου αἱ ἀρχαί, ἢ καὶ αἱ ἐκ τούτων οὐσίαι καθόλου, ἔσται μὴ οὐσία πρότερον οὐσίας. τὸ μὲν γὰρ καθόλου, οὐκ

C Quod verò & iis, qui dicunt ideas, & iis qui non dicunt, aliquam dubitationem habet, quod & à principio in dubitationibus dictum est prius, modò dicamus. Nam si quis substantias non ponat esse separatas, & hoc modo sicuti entium singularia dicuntur, perimet substantiam, quemadmodum dicere volumus. Quòd si quis substantias separatas ponat, quomodo principia earum, & elementa ponet? Si

D singulare nanque, & vniuersale, tot erunt entia, quot elemẽta, neq. scibilia elemẽta. Sint etenim syllabę quidẽ quę in voce sũt substantiæ: elementa verò earũ, elementa substantiarum: necesse autem est b a, & vnamquamque syllabarum vna esse, si non vniuersaliter quidẽ, & specie eædẽ, sed vna numero vnaquęq;, & quod quid, nec ęquiuocũ. Itẽ, ipsum quod est vnumquodque, vnum ponunt: quòd si syllabæ, ita illa quoque, ex quibus sunt: non erunt igitur

E plura a \[?\]quàm vnum, nec aliorum elementorum vllum secundum eandem rationem, secundum quam nec aliarum syllabarum eadem altera & altera. At verò si hoc, pręter elementa non erunt alia entia, sed solùm elementa: nec item erunt scibilia elementa, cùm non sint vniuersalia, scientia verò vniuersalium sit. Constat verò ex demonstrationibus, ac definitionibus: non enim fit syllogismus, quòd hic triangulus duobus rectis, nisi quòd omnis,

F duo recti: nec quòd hic homo animal, nisi quòd omnis homo animal. At verò si principia vniuersalia sunt, aut etiam substantiæ, quæ ex his fiunt, vniuersales sunt, erit non substantia prior substantia. Vniuersale nanque non est substantia